TEZAUR LITURGIC

**23 IANUARIE**

**ALEXANDROS PAPADIAMANTIS**

# PARACLISUL SF.CUVIOS DIONISIE DE LA OLIMP

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών Ὁσίου ΔΙΟΝΥΣΙΟΥ τοῦ ἐν Ὀλύμπῳ

## Ἀλ. Παπαδιαμάντη

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ. (Ἐκ τῆς ἐν χρήσῃ Παρακλήσεως).

Τῷ ἰατρῷ τῶν ἀλγεινῶν νῦν προσδράμωμεν, οἱ ἀσθενείαις τῆς ψυχῆς καὶ τοῦ σώματος, βεβαρημένοι κράζοντες αὐτῷ ἐκτενῶς· Πάτερ Διονύσιε, τῷ Θεῷ καὶ Δεσπότῃ, ὑπὲρ ἡμῶν ἱκέτευε, ὡς Πατὴρ, θεοφόρε, νόσων ῥυσθῆναι καὶ πάσης ἀπειλῆς, ταῖς σαῖς πρεσβείαις καί σαῖς παρακλήσεσιν.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς, ἄνευ τῶν Θεοτοκίων· *Ὠδὴν προσάξω τήνδε Διουυσίῳ.* Ποίημα Ἀλεξάνδρου Παπαδιαμάντη.

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ὡς εἰς Ὀλύμπου παμμάκαρ τὴν κορυφήν, ἀετὸς ἀνέδραμες, θεωρίαις πρὸς Θεὸν καὶ ταῖς ἀναβάσεσιν ὁρμῶν· διὸ πόθῳ τὴν σεπτὴν μνήμην τιμῶμέν σου.

Δίδου ἡμῖν προστασίαν καὶ ἀρωγήν, πίστει δεομένοις σου, σαῖς πρεσβείαις πρὸς Θεόν, ἀπελαύνων πάθη χαλεπά, καὶ σκεδάζων τὴν ἀχλὺν τῶν καρδιῶν ἡμῶν.

Ἡ ἱερὰ καὶ ὁσία παρὰ Χριστῷ, μάκαρ παρρησία σου, ἡμῖν εἴη εὐμενής, καὶ ταῖς ἱκεσίαις σου παντὸς πειρασμοῦ καὶ ταραχῆς ἡμᾶς ἀπάλλαξον.

Θεοτοκίον.

Ταῖς πρὸς Χριστὸν Υἱόν Σου, Ἁγνὴ, λιταῖς, σῴζοις, Παμμακάριστε, τοὺς ὁμολογοῦντας Σέ, Κόρην καὶ Παρθένον ἀληθῶς, καὶ Μητέρα τοῦ Θεοῦ· θαῦμα παράδοξον.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.

Νῦν τὴν σεπτήν σου εὐλαβῶς, προσκυνοῦμεν εἰκόνα, μετὰ πόθου προσπίπτοντες ἀντιλήψει τῇ σῇ, καὶ ἱκετεύοντες τυχεῖν τῶν πρὸς Χριστόν σου ἐντεύξεων.

Παρὰ Θεοῦ ὁ εἰληφὼς τῶν θαυμάτων τὴν χάριν, πάσης βλάβης καὶ νόσου ἐλευθέρωσον ἡμᾶς, καὶ ὑπὸ σκέπην σοφέ, τῶν πρεσβειῶν σου φύλαττε.

Ῥάβδος δυνάμεως ἡ σὴ ἀντίληψις, γενέσθω ἀπωθοῦσα παντοίων πειρασμῶν ἐπιδρομάς, καὶ συντρίβουσα ἐχθροῦ, τὰ δεινὰ κέντρα, πάνσοφε.

Θεοτοκίον.

Ὁ ἐν τῇ μήτρᾳ τῇ Σῇ σαρκωθεὶς Παναγία, Θεὸς καὶ ἄνθρωπος, σκέπην καὶ βοήθειαν ἡμῖν ταῖς πρεσβείαις Σου Ἁγνή, παρέχοι πάντοτε.

Διάσωσον, ἀπὸ παντοίων κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πρὸς σὲ θερμῶς θεοφόρε προστρέχομεν, ὡς ῥύστην σὲ ἔχοντες καὶ προστάτην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τοῦ Κυρίου τὸν Σταυρόν, ἐπ᾽ ὤμων ἄρας σὺ σοφέ, ἠκολούθησας Αὐτοῦ, τοῖς θείοις νόμοις ἀληθῶς, καὶ εἰς τὰ ὄρη ὅθεν βοήθεια ἥκει, ἀρθεὶς τῇ ὑπὲρ νοῦν, πολιτείᾳ σου, τοῖς θαύμασι κλεινῶς, ὑπερέλαμψας, καὶ τοῖς λαοῖς ὑπογραμμὸς ἐγένου, τῆς θεωρίας καὶ πράξεως. Διό σου πάντες, τὴν σεβασμίαν, μνήμην γεραίρομεν.

Θεοτοκίον.

Καταπλήττει τῶν βροτῶν, ἔννοιαν πᾶσαν, πάντα νοῦν, τὸ ἐν Σοὶ συντελεσθέν, ὑπερφυέστατον Ἁγνή, θαῦμα θαυμάτων, Πανάχραντε Παναγία· ὅτι χρονικῶς ὁ ἀΐδιος, ὤφθη ὡς βροτὸς ἐκ τῆς κοιλίας Σου, καὶ Γαβριὴλ ὁ Ἄγγελος Κυρίου, τῇ Θεοτόκῳ ἐκραύγαζε· χαῖρε Παρθένε, χαῖρε ἡ Μήτηρ, τοῦ Δεσπότου καὶ Κτίστου μου.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ὁ μόνος Κύριος καὶ Πολυέλεος, σὲ Διονύσιε ὄντως ναὸν Θεοῦ, ἔμψυχον ἀνέδειξε, καὶ ὡς θυμίαμα τὴν σὴν πολιτείαν προσεδέξατο.

Σοὶ πόθῳ μέλποντες ἀνευφημοῦμέν σε· σώζοις ἡμᾶς ἐκ ποικίλων καὶ χαλεπῶν, μάκαρ περιστάσεων, καὶ τῶν παγίδων τοῦ ἐχθροῦ ἐξαρπάζων σκέποις πάντοτε.

Ἁγίων Ἅγιος καὶ ἁγιώτατος, πεφυκώς, ὦ φιλάνθρωπε Ἰησοῦ, δώρησαι τὴν χάριν Σου, τοῖς προσκυνοῦσί Σε ἄνθρωπον καὶ Θεόν, Διονυσίου ταῖς δεήσεσι.

Θεοτοκίον.

Χριστὸν, Πανάμωμε, αἴτει Ὅν ἔτεκες, δωρηθῆναι εἰρήνην πᾶσιν ἡμῖν, χάριν τε καὶ ἔλεος, τοῖς ἐν πίστει Θεοτόκον μόνην ὁμολογοῦσί Σε.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει Σου, Ἀγαθέ.

Ξενωθέντα τοῦ κόσμου πρὸς οὐρανόν, θεῖος καὶ αἰώνιος ἔρως σε ἀνεπτέρωσε, τῷ δεδοξασμένῳ προσαγαγών σε Θεῷ, ἡμῖν τὴν σωτηρίαν ἀεὶ αἰτούμενον.

Ὡς οὐρανίου διαγωγῆς ἔρωτι τῷ κόσμῳ, Πάτερ, ἀποταξάμενος, οὐρανίων ἡμᾶς ἀξίωσον δωρεῶν, παρέχων τὴν εἰρήνην σοῦ ταῖς δεήσεσι.

Τῷ θείῳ ἔρωτι Χριστοῦ, τὰς τῶν εὐφημούντων σε ψυχάς, πτέρωσον αἴρων είς τὰ ὕψη τῷ νόμῳ Αὐτοῦ, πυρὶ κεκαθαρμένας παντὸς φθαρτοῦ λογισμοῦ.

Θεοτοκίον.

Σὲ τὴν ἀμνάδα τοῦ Χριστοῦ, τὴν ἄχραντον καὶ ἄσπιλον μόνην, καὶ ἁγνὴν καὶ ἀμίαντον, πόθῳ μακαρίζομεν οἱ πιστοί, ἐν Σοὶ τῆς σωτηρίας τυχεῖν ἐλπίζοντες.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Ἡμάρτομεν ἅπαντες, τοῦ Χριστοῦ τὰς ἐντολάς, οἱ παραβάντες ἄφρονες, καὶ προστρέχοντες πίστει σκέπῃ τῇ σῇ, βοῶμέν σοι· πρέσβευε, τοῦ σωθῆναι, παμμάκαρ, τὰς ψυχὰς ἡμῶν.

Ναῷ τῷ ἁγίῳ σου νῦν προσφεύγομεν, σοφέ, δεόμεθά σου οἴκτειρον καὶ τὸν Κύριον πάντων μάκαρ

αἰτοῦ, σεπταῖς σου δεήσεσι, τοῦ σωθῆναι κινδύνων τὰς ψυχὰς ἡμῶν.

Δεόμεθα Ὅσιε, ἱεραῖς σου προσευχαῖς, τὸν Κτίστην δυσώπησον, λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, τοὺς πίστει προστρέχοντας, τῇ σῇ μεσιτείᾳ, Διονύσιε.

Θεοτοκίον.

Ναὸν Θεοῦ ἔμψυχον, καὶ Λαμπάδα τοῦ φωτός, τῶν οὐρανῶν Σε Κλίμακα, Στάμνον, Ῥάβδον καὶ Βάτον τὴν ἄφλεκτον, Χριστιανοί Σε ἔγνωμεν· ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν ἀνάγαγε.

Διάσωσον, ἀπὸ παντοίων κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πρὸς σὲ θερμῶς θεοφόρε προστρέχομεν, ὡς ῥύστην σὲ ἔχοντες καὶ προστάτην.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἐν τῷ ὄρει ἀνατείλας Ὀλύμπῳ, ὡσεὶ ἀστὴρ ἑωθινὸς καὶ τὸ σκότος, τῆς ἁμαρτίας διαλύσας, Διονύσιε, φρούρησον ὑπὸ τὴν σκέπην σου, τοὺς θερμῶς σε τιμῶντας, τεῖχος ἀδιάρρηκτον τὰς πρεσβείας σου ἔχων, καὶ τῇ ἀσπίδι σῴζων τοῦ Σταυροῦ, τοὺς προσιόντας τῇ σκέπῃ σου πάντοτε.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ.ια΄27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ’ ὑμᾶς καὶ μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. (Ἐκ τῆς ἐν χρήσῃ Πρακλήσεως). Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Ὅλην Διονύσιε, εἰς σὲ τηρῶ τὴν ἐλπίδα, καὶ θερμοῖς τοῖς δάκρυσιν, ἀπὸ τῆς καρδίας μου, ἱκετεύω σε, πρὸς Θεὸν ποίησον, ἱκεσίαν μάκαρ, τῶν πταισμάτων λύσιν δοῦναί μοι, καὶ ἀγαλλίασιν, ψυχικὴν καὶ βίου διόρθωσιν· καὶ νῦν σε πρὸς τὸν Κύριον, πρεσβευτὴν θερμότατον κέκτημαι· ἔχεις καὶ

γὰρ Πάτερ, ἰσχὺν πρὸς τὸ πρεσβεύειν ἐκτενῶς, ὑπὲρ τῶν πίστει τιμώντων σε, ἀξιομακάριστε.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἐν ταῖς θλίψεσι, Πάτερ Διονύσιε, τῆς ψυχῆς καὶ σωμάτων ἡμῶν, σοὶ βοῶμεν. Πρόφθασον μάκαρ, στήριγμα γενοῦ τοῖς πόθῳ τιμῶσι τὴν φαιδρὰν καὶ φωτοφόρον σου μνήμην καὶ σεβάσμιον.

Δᾳδουχεῖς φρυκτωρίαις ταῖς τοῦ Πνεύματος, τὰς καρδίας παμμάκαρ τῶν πιστῶν, καὶ φωτίζεις τῆς διανοίας δὲ τοὺς ὀφθαλμούς, τοῦ βλέπειν Κυρίου τὴν ὁδόν, ἐν ᾗ εὐσεβῶς πολιτευσόμεθα.

Ἱερὰ καὶ σεπτή σου, Διονύσιε, ἡ πανήγυρις σήμερον ἐπέφανε, συγκαλοῦσα τοὺς πόθῳ σε τιμῶντας ἐν τῷ σῷ Ναῷ, κατασπαζομένους τὴν σορόν, παμμάκαρ τῶν ἱερῶν λειψάνων σου.

Θεοτοκίον.

Πρὸς Σὲ καταφεύγομεν Θεόνυμφε Παρθένε, οἱ θλίψεσι πολλαῖς δεινῶς συνεχόμενοι τοῦ βίου, καὶ ἐν πειρασμοῖς τὰς χεῖρας ἐκτείνομεν· ἀλλὰ Σὺ βοήθησον, οἴκτειρον καὶ σῶσον ἡμᾶς.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὁ ναός σου προχέει πᾶσιν ἰάματα, τοῖς ἐν πίστει τῇ σκέπῃ τῇ σῇ προστρέχουσι, πίστει αἰτουμένοις τοῦ

τυχεῖν τῆς βοηθείας σου καὶ χάριτος Πάτερ, παρὰ Θεοῦ τυχόντος.

Νῦν καὶ νοῦν καὶ καρδίαν, χεῖρας καὶ ὄμματα, πρὸς σὲ Πάτερ ἐν δάκρυσιν ἀνατείνομεν, καὶ τῇ σῇ ἀντιλήψει πίστει ἐλπίζοντες, καταπονουμένων καὶ στεναζόντων φεῖσαι.

Ὑπὲρ ἥλιον ὄντως Πάτερ ἐξέλαμψας, ἐξ ἑῴας ἀπ᾽ ὄρους τὸν ἀνατέλλοντα· τοῖς ἐν ἀπογνώσει τῷ σκότει βαίνουσι, τῆς φωταγωγίας τῆς μυστικῆς μετάδος.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον. (Ἐντεῦθεν ἐκ τῆς ἐν χρήσῃ Παρακλήσεως).

Λιμὴν τῆς σωτηρίας, πέλει ὁ ναός σου, καταφυγὴ καὶ βεβαία ἀντίληψις, ὦ Διονύσιε Πάτερ, τοῖς σοὶ προστρέχουσιν.

Χαρᾶς αἰωνιζούσης, Πάτερ σὺν Ἀγγέλοις, ἐπαπολαύων νυνὶ διασκέδασον, τὴν ἀθυμίαν τῶν νόσων ἡμῶν καὶ θλίψεων.

Μεσίτην καὶ προστάτην, σὲ πρὸς τὸν Σωτῆρα, ὦ Διονύσιε μάκαρ πλουτήσαντες, τῆς λοιμικῆς ἀσθενείας ἀπολυτρούμεθα.

Θεοτοκίον.

Ἡ σκέπη Σου Παρθένε, ἰατρεῖον πέλει, πνευματικὸν· ἐν αὐτῷ γὰρ προστρέχοντες, τῶν ψυχικῶν νοσημάτων ἀπολυτρούμεθα.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τὸν νέον ὁπλίτην, Διονύσιον τὸν σοφόν, τὸν τῆς Πιερίας, θερμότατον προστάτην, πάντων δὲ τῶν ἐν θλίψει, ῥύστην καὶ πρόμαχον.

Κάραν σου τὴν πάντιμον ἀσκητά, τιμῶμεν ἐκ πόθου, τὴν συνθλάσασαν τοῦ ἐχθροῦ, ὀλέθριον κάραν, καὶ λύτρωσαι κινδύνων, Διονύσιε τρισμάκαρ, τῇ μεσιτείᾳ σου.

Νῦν τὸν τῆς ἀσκήσεως ἀθλητήν, μοναστῶν τὸ κλέος, Διονύσιον οἱ πιστοί, ἀξίως τιμῶμεν· λοιμοῦ γὰρ καὶ κινδύνων, λυτροῦται τοὺς ἐν πίστει, αὐτῷ προστρέχοντας.

Ὄλυμπε ὑπέρτατε τῶν βουνῶν, χαῖρε καὶ εὐφραίνου, κεκτημένος σὺ βοηθόν, ῥύστην καὶ προστάτην, ἐν τοῖς πειρατηρίοις, τὸν θεῖον καὶ ὑπέρλαμπρον Διονύσιον.

Πάντων τῶν Ὁσίων τὰς ἀρετάς, καλῶς ἀνεμάξω, Διονύσιε καὶ λαμπτήρ, μέγιστος ἐγένου, Τριάδος τῆς ἀκτίστου, τὸ φῶς ἡμῖν ἐκπέμπων, τοῖς εὐφημοῦσί σε.

Τὸν τῆς μετανοίας καθηγητήν, καὶ τὸν ἐν Ὀλύμπῳ, ποδηγέτην καὶ οἰκιστήν, τὸν θεῖον προστάτην, καὶ λειτουργὸν Κυρίου, Διονύσιον τὸν μέγαν, πάντες ὑμνήσωμεν.

Χαίροις τῶν Ὁσίων ἡ καλλονή, καὶ τῶν ἐκ καρδίας, δυσωπούντων πανευσεβῶς, τὰς παντοίας νόσου, ἀεὶ ἀποδιώκων, τῶν ἐπικαλουμένων σε Διονυσίε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός

ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσωμεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅλην Διονύσιε εἰς σέ, τηρῶ τὴν ἐλπίδα, καὶ θερμοῖς τοῖς δάκρυσιν, ἀπὸ τῆς καρδίας μου, ἱκετεύω σε, πρὸς Θεὸν ποίησον, ἱκεσίαν μάκαρ, τῶν πταισμάτων λύσιν δοῦναί μοι, καὶ ἀγαλλίασιν, ψυχικὴν καὶ βίου διόρθωσιν. Καὶ νῦν σε πρὸς τὸν Κύριον, πρεσβευτὴν θερμότατον κέκτημαι· ἔχεις καὶ γὰρ Πάτερ, ἰσχὺν πρὸς τὸ πρεσβεύειν ἐκτενῶς, ὑπὲρ τῶν πίστει τιμώντων σε, ἀξιομακάριστε.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.